ΔΙ. κρύψῃ σὺ κρύψιν ἥν σε κρυφθῆναι χρεών,
ἐλθόντα δόλιον μαινάδων κατάσκοπον.
ΠΕ. καὶ μὴν δοκῶ σφᾶς ἐν λόχμαις ὄρνιθας ὣς
λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.
ΔΙ. οὐκοῦν ἐπ᾽ αὐτὸ τοῦτ᾽ ἀποστέλλῃ φύλαξ·
λήψῃ δ᾽ ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.
ΠΕ. κόμιζε διὰ μέσης με Θηβαίας χθονός·
μόνος γὰρ αὐτῶν εἰμ᾽ ἀνὴρ τολμῶν τόδε.
ΔΙ. μόνος σὺ πόλεως τῆσδ᾽ ὑπερκάμνεις, μόνος·
τοιγάρ σ᾽ ἀγῶνες ἀναμένουσιν οὓς ἐχρῆν.
ἕπου δέ· πομπὸς [δ᾽] εἶμ᾽ ἐγὼ σωτήριος,
κεῖθεν δ᾽ ἀπάξει σ᾽ ἄλλος. ΠΕ. ἡ τεκοῦσά γε.
ΔΙ. ἐπίσημον ὄντα πᾶσιν. ΠΕ. ἐπὶ τόδ᾽ ἔρχομαι.
ΔΙ. φερόμενος ἥξεις . . . ΠΕ. ἁβρότητ᾽ ἐμὴν λέγεις.
ΔΙ. ἐν χερσὶ μητρός. ΠΕ. καὶ τρυφᾶν μ᾽ ἀναγκάσεις.
ΔΙ. τρυφάς γε τοιάσδε. ΠΕ. ἀξίων μὲν ἅπτομαι.
ΔΙ. δεινὸς σὺ δεινὸς κἀπὶ δείν᾽ ἔρχῃ πάθη,
ὥστ᾽ οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
ἔκτειν᾽, Ἀγαύη, χεῖρας αἵ θ᾽ ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
τόνδ᾽ εἰς ἀγῶνα μέγαν, ὁ νικήσων δ᾽ ἐγὼ
καὶ Βρόμιος ἔσται. τἄλλα δ᾽ αὐτὸ σημανεῖ.

στρ. ΧΟ. ἴτε θοαὶ Λύσσας κύνες ἴτ᾽ εἰς ὄρος,
θίασον ἔνθ᾽ ἔχουσι Κάδμου κόραι,
ἀνοιστρήσατέ νιν ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ
λυσσώδη κατάσκοπον μαινάδων.
μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας
ἢ σκόπελος ὄψεται
δοκεύοντα, μαινάσιν δ᾽ ἀπύσει·
Τίς ὅδ᾽ ὀρειδρόμων μαστὴρ Καδμείων